ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων.
4 σοφὸς γάρ ἐστιν διανοίᾳ, κραταιός τε καὶ μέγας·
τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν;
5 ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν,
ὁ καταστρέφων αὐτὰ ὀργῇ·
6 ὁ σείων τὴν ὑπ᾽ οὐρανὸν ἐκ θεμελίων,
οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται·
7 ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει,
κατὰ δὲ ἄστρων κατασφραγίζει·
8 ὁ τανύσας τὸν οὐρανὸν μόνος
καὶ περιπατῶν ὡς ἐπ᾽ ἐδάφους ἐπὶ θαλάσσης·
9 ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμίεια νότου·
10 ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.
11 ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω·
καὶ ἐὰν παρέλθῃ με, οὐδ᾽ ὧς ἔγνων.
12 ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει;
ἢ τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας;
13 αὐτὸς γὰρ ἀπέστραπται ὀργήν,
ὑπ᾽ αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ᾽ οὐρανόν.
14 ἐὰν δέ μου ὑπακούσηται, ἢ διακρινεῖ τὰ ῥήματά μου.
15 ἐάν τε γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου,
※τοῦ κρίματος αὐτοῦ δεηθήσομαι·↙
16 ἐάν τε καλέσω καὶ ὑπακούσῃ,
οὐ πιστεύω ὅτι εἰσακήκοέν μου.
17 μὴ γνόφῳ με ἐκτρίψῃ;
πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκεν διὰ κενῆς.
18 οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι,
ἐνέπλησεν δέ με πικρίας.
19 ὅτι μὲν γὰρ ἰσχύι κρατεῖ·
τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;
20 ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει·
ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι.
21 εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ,

3$^3$ χειλεων A || 4$^2$ γενομ./εναντ. αυτου] tr. S† || 5$^1$ και > B*† | 5$^2$ οργη] pr. εν A† || 7$^1$ ηλιω] + μη ανατελλειν A† | post 7$^2$ repetunt BS† stichum 4 18$^2$ a S$^c$ asterisco notatum (cf. 5 23 10 4 Sir. 32 18) || 8$^2$ και > B*† | ως επ εδ./επι θαλ.] tr. A† | επι > S*† || 13$^1$ οργη A† | 13$^2$ αυτου] + δε S$^c$ | εκαμφθη A† || 14 υπακουσεται B, εισακουση A† | διακρινη A || 15$^1$ τε > BS*† || 16$^1$ τε] δε S† | υπακουση] pr. μη B†, εισακ. A† || 17$^1$ γνοφω] pr. εν A† | 17$^2$ μου/τα συντριμμ.] tr. compl., + μου A† || 18$^2$ δε] γαρ S† || 19$^1$ ισχυει B || 21$^1$ ησεβηκα S†, ηυσεβησα Gra.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/290 UNIVERSITÄT LEIPZIG